Εὖ μοι στομώσεις αὐτόν. ἐπὶ μὲν θάτερα,
Οἵαν δικιδίοις. τὴν δ᾽ ἑτέραν αὐτοῦ γνάθον
Στόμωσον, οἵαν ἐς τὰ μείζω πράγματα.
Σω. Αμέλει. κομιεῖ τοῦτον σοφιστὴν δεξιόν.
Φει. Ωχρὸν μὲν οὖν οἶμαι, καὶ κακοδαίμονα.
Χο. Χώρει νυν. οἴομαι δὲ
Σοι ταῦτα μεταμελήσειν.

A Probe, memento: & alteram buccam quidem
Ad leuicula obtinenda litigia: alteram
Exacue, vt maiora obtineat negocia.
SO. Quiesce: reduces hunc impostorem probum.
PH. Imò pallidum opinor, sophistámque miserum.
CH. I nunc: credo affore illud
B Iam tempus, vbi pigebit.

Σχόλια. Στομώσεις.] ὀξύνεις ἢ εὔστομον ποιήσεις. ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν. Επὶ θάτερα.] τὸ μὲν ἕτερον μέρος τῆς γνάθου. Οἵαν δικιδίοις.] τουτέστι δυνατὴν καὶ ἔμπειρον δικῶν. ὑποκοριστικῶς δὲ τὸ δικιδίοις.

## ΕΠΙΡΡΗΜΑ. στίχων ιϛ.

Bisetus. Ο Χορὸς τὴν τῶν θεατῶν εὔνοιαν, προσέτι καὶ εὐφημίαν αἰτεῖ, ἀνθ᾽ ὧν γονιμωτάτους ὑετοὺς C αὐτοῖς ὑπισχνεῖται.

ΧΟ. Τοὺς κριτὰς ἃ κερδανοῦσιν, ἤν τι τόνδε τὸν χορὸν
Ωφελῶσ᾽ ἐκ τῶν δικαίων, βουλόμεσθ᾽ ὑμῖν φράσαι.
Πρῶτα μὲν γὰρ ἢν νεοῦν βούλησθ᾽ ἐν ὥρᾳ τοὺς ἀγρούς,
Υσομεν πρώτοισιν ὑμῖν, τοῖσι δ᾽ ἄλλοις ὕστερον.
Εἶτα τὸν καρπὸν τεκούσας ἀμπέλους φυλάξομεν,
Ωστε μήτ᾽ αὐχμὸν πιέζειν, μήτ᾽ ἄγαν γ᾽ ἐπομβρείαν.
Ην δ᾽ ἀτιμάσῃ τις ἡμᾶς, θνητὸς ὤν, οὔσας θεάς,
Προσεχέτω τὸν νοῦν πρὸς ἡμῶν οἷα πείσεται κακά,
Λαμβάνων, οὔτ᾽ οἶνον, οὔτ᾽ ἄλλ᾽ οὐδὲν ἐκ τοῦ χωρίου.
Ηνίκ᾽ ἂν γὰρ αἵ τ᾽ ἐλάαι βλαστάνωσ᾽, αἵ τ᾽ ἄμπελοι
Αποκεκόψονται, τοιαύταις σφενδόναις παιήσομεν.
Ην δὲ πλινθεύοντ᾽ ἴδωμεν, ὕσομεν, καὶ τοῦ τέγους
Τὸν κέραμον αὐτοῦ χαλάζαις στρογγύλαις συντρίψομεν.
Κἂν γαμῇ ποτ᾽ αὐτὸς ἢ τῶν ξυγγενῶν ἢ τῶν φίλων,
Υσομεν τὴν νύκτα πᾶσαν. ὥστ᾽ ἴσως βουλήσεται
Κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον, ἢ κρῖναι κακῶς.

## ADDITAMENTVM.

Chorvs. Iudices quid lucri sint reportaturi, si huic Choro
Ex his, quæ sunt iusta, commodent, aggredimur dicere.
Primum, si renouare agros volueritis iusto tempore:
Nos primis vobis pluemus, postea verò cæteris.
D Inde frugiparas custodiemus vites: vt neque
Siccitas æstus, neque humentes pluuiæ nimium premant.
Sin quis nos contempserit, Deas nos, ipse homuncio:
Is animaduertat, quid à nobis passurus sit mali:
Nam neque vinũ accipiet, nec aliud quicquam è fundo suo.
E Quando enim oleæ germinabunt, & vites ac pampini
Amputabuntur, fundis huiusmodi quassabimus.
Sin videbimus lateres fingentem, pluemus ilicet:
Et rotunda grandine tecti comminuemus tegulas.
Tum si nuptias vel ipse, vel ex cognatis quispiam
F Vel amicus celebrabit, nocte pluemus tota, vt forsitan
Malit esse in Ægypto, quàm iudicare perperàm.

Σχόλια. Τοὺς κριτὰς ἃ κερδανοῦσιν.] κἀνταῦθα παράβασίς ἐστιν. ἔχει δὲ οὐ πάντα τὰ μέρη τῆς παραβάσεως. ἀλλὰ μόνον τὸ ἐπίρρημα τῆς παραβάσεως. ἐν ᾧ ἔθος ἢ χρηστὰ συμβουλεύειν τῇ πόλει, ἢ σκώπτειν τοὺς πονηρούς. τίθενται γὰρ οὐ μόνον τέλειαι παραβάσεις, ἀλλὰ καὶ μέρη τινὰ G αὐτῶν. ἔστι δὲ τὸ παρὸν ἐπίρρημα ἐκ στίχων τροχαϊκῶν τετραμέτρων καταληκτικῶν ιϛ. ὧν τελευταῖος κἂν ἐν Αἰγύπτῳ τυχεῖν ὢν μᾶλλον ἢ κρῖναι κακῶς. αἰτιατικὴ δὲ ἀντὶ εὐθείας. ἀντὶ τοῦ οἱ κριταί. Ομηρος. μητέρα δ᾽ εἴ τοι θυμὸς ἐφορμᾶται γαμέεσθαι, ἀντὶ τοῦ ἡ μήτηρ. Ωφελῶσ᾽ ἐκ τῶν δικαίων.] συναγωνίζονται καὶ συλλαμβάνωνταί τι κατὰ τὸ δίκαιον. ἵνα δὲ μὴ χάριτι δοκῇ νικᾶν καὶ τὴν ψῆφον φέρειν, ἀλλὰ ταῖς ἀληθείαις, προσέθηκε τοῦτο. Τεκούσας.] χαριέντως εἶπε τεκούσας καὶ φυλάξαι ἐπὶ τῆς βλαστήσεως τῆς ἀμπέλου. λίαν γάρ ἐστιν εὐχερὲς τὸ αὐχμὸν πιέζειν ἀντὶ τοῦ ξηρασίαν καταπονεῖν ἀφανίζειν. Σφενδόναις.] ὅτι ἡ χάλαζα ὡς λίθος ἐστίν. ἡ μεταφορὰ ἐκ τῶν λίθων καὶ τῶν σφενδονῶν. θέλει δὲ τὴν χιόνα εἰπεῖν οὐκ ἀκύρως δὲ τὸ παιήσομεν ἐπειδὴ ἀνθούντων τῶν καρπῶν ἡ χιὼν γίνεται. Τὴν νύκτα] ὅτε ἀνάγκη ἐστὶ μετελθεῖν τὴν νύμφην. Εν Αἰγύπτῳ.]